Ιουδα καὶ τοῖς κατοικοῦσιν Ιερουσαλημ λέγων Κατέναντι τοῦ θυ-
13 σιαστηρίου τούτου προσκυνήσετε καὶ ἐπ᾽ αὐτῷ θυμιάσετε. [13]οὐ
γνώσεσθε ὅ τι ἐποίησα ἐγὼ καὶ οἱ πατέρες μου πᾶσι τοῖς λαοῖς
τῶν χωρῶν; μὴ δυνάμενοι ἠδύναντο θεοὶ τῶν ἐθνῶν πάσης τῆς
14 γῆς σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου; [14]τίς ἐν πᾶσι τοῖς
θεοῖς τῶν ἐθνῶν τούτων, οὓς ἐξωλέθρευσαν οἱ πατέρες μου; μὴ
ἠδύναντο σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου, ὅτι δυνήσεται ὁ
15 θεὸς ὑμῶν σῶσαι ὑμᾶς ἐκ χειρός μου; [15]νῦν μὴ ἀπατάτω ὑμᾶς
Εζεκιας καὶ μὴ πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦτα, καὶ μὴ πι-
στεύετε αὐτῷ· ὅτι οὐ μὴ δύνηται ὁ θεὸς παντὸς ἔθνους καὶ βα-
σιλείας τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ ἐκ χειρός μου καὶ ἐκ χειρὸς
πατέρων μου, ὅτι ὁ θεὸς ὑμῶν οὐ μὴ σώσει ὑμᾶς ἐκ χειρός μου.
16 [16]καὶ ἔτι ἐλάλησαν οἱ παῖδες αὐτοῦ ἐπὶ κύριον θεὸν καὶ ἐπὶ Εζε-
17 κιαν παῖδα αὐτοῦ. [17]καὶ βιβλίον ἔγραψεν ὀνειδίζειν τὸν κύριον
θεὸν Ισραηλ καὶ εἶπεν περὶ αὐτοῦ λέγων Ὡς θεοὶ τῶν ἐθνῶν τῆς
γῆς οὐκ ἐξείλαντο τοὺς λαοὺς αὐτῶν ἐκ χειρός μου, οὕτως οὐ μὴ
18 ἐξέληται ὁ θεὸς Εζεκιου λαὸν αὐτοῦ ἐκ χειρός μου. [18]καὶ ἐβόησεν
φωνῇ μεγάλῃ Ιουδαϊστὶ ἐπὶ λαὸν Ιερουσαλημ τὸν ἐπὶ τοῦ τείχους
τοῦ φοβῆσαι αὐτοὺς καὶ κατασπάσαι, ὅπως προκαταλάβωνται τὴν
19 πόλιν. [19]καὶ ἐλάλησεν ἐπὶ θεὸν Ιερουσαλημ ὡς καὶ ἐπὶ θεοὺς λαῶν
20 τῆς γῆς, ἔργα χειρῶν ἀνθρώπων. — [20]καὶ προσηύξατο Εζεκιας ὁ
βασιλεὺς καὶ Ησαιας υἱὸς Αμως ὁ προφήτης περὶ τούτων καὶ ἐβό-
21 ησαν εἰς τὸν οὐρανόν. [21]καὶ ἀπέστειλεν κύριος ἄγγελον, καὶ ἐξ-
έτριψεν πᾶν δυνατὸν πολεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν
τῇ παρεμβολῇ βασιλέως Ασσουρ, καὶ ἀπέστρεψεν μετὰ αἰσχύνης
προσώπου εἰς τὴν γῆν αὐτοῦ. καὶ ἦλθεν εἰς οἶκον τοῦ θεοῦ αὐτοῦ,
καὶ τῶν ἐξελθόντων ἐκ κοιλίας αὐτοῦ κατέβαλον αὐτὸν ἐν ῥομ-
22 φαίᾳ. [22]καὶ ἔσωσεν κύριος Εζεκιαν καὶ τοὺς κατοικοῦντας ἐν Ιε-
ρουσαλημ ἐκ χειρὸς Σενναχηριμ βασιλέως Ασσουρ καὶ ἐκ χειρὸς
23 πάντων καὶ κατέπαυσεν αὐτοὺς κυκλόθεν. [23]καὶ πολλοὶ ἔφερον
δῶρα τῷ κυρίῳ εἰς Ιερουσαλημ καὶ δόματα τῷ Εζεκια βασιλεῖ
Ιουδα, καὶ ὑπερήρθη κατ᾽ ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν μετὰ ταῦτα.
24 [24]Ἐν ταῖς ἡμέραις ἐκείναις ἠρρώστησεν Εζεκιας ἕως θανάτου·
καὶ προσηύξατο πρὸς κύριον, καὶ ἐπήκουσεν αὐτοῦ καὶ σημεῖον
25 ἔδωκεν αὐτῷ. [25]καὶ οὐ κατὰ τὸ ἀνταπόδομα, ὃ ἔδωκεν αὐτῷ,

12 ιερουσ.] pr. εν B*L*p† | αυτω] -του A† || 13 ο τι] τι A | εποιησα εγω] tr. A || 15 ο ult. > A† || 16 οι > B† || 17 τους > B† || 18 λαον ιερουσ.] ιερουσ. και τον λαον A | φοβησαι αυτους *L*†] βοηθησαι αυτοις rel. || 19 θεον] pr. τον A | ως και] pr. και B† || 20 εβοησεν B† || 21 και 2° > B*† | παν] παντα A: cf. Iud. 7 4 B | δυνατον] + και B | μετα αισχ. προσ.] το προσωπον μετα αισχυνης A | ηλθεν] pr. εισ A | του > B*L*† || 22 εν > A | ασσυριων A || 23 μετα ταυτα (A και μ. τ.) ad 24 trahunt BA || 24 αυτου] -τω B*